πρώτης τῶν Περισπωμένων γίνεται. οἷον, τιθέω, ῶ. τίθημι. ἔχει δὲ τὸ η, ἐν τῇ παραληγούσῃ τοῦ ἐνεργητικοῦ· τὸ ε, δὲ, ἐν τῇ τοῦ παθητικοῦ. οἷον, τίθημι, τίθεμαι.

§. ρό. Ὁριστικὰ Ἐνεργητικά.

Ἐνεστώς. Τίθημι, τίθης, τίθησι.
τίθετον, τίθετον.
τίθεμεν, τίθετε, τίθεισι, καὶ Ἰωνικῶς τιθέασι.

Παρατατ. Ἐτίθην, ἐτίθης, ἐτίθη.
ἐτίθετον, ἐτιθέτην.
ἐτίθεμεν, ἐτίθετε, ἐτίθεσαν.

✻. Ἐπὶ τῶν εἰς μι, τὰ ἑνικὰ τρία πρόσωπα τοῦ Παρατατικοῦ ἄχρηστά εἰσιν, ὧν τὴν χρείαν τὰ τῶν περισπωμένων ἀναπληροῦσιν. οἷον, ἐπὶ μὲν τῆς πρώτης, ἐτίθουν, ἐτίθεις, ἐτίθει. ἐπὶ δὲ τῆς β΄. ἵστων, ἵστας, ἵστα. ἐπὶ δὲ τῆς γ΄. ἐδίδουν, ἐδίδους, ἐδίδου.

Παρακείμ. Τέθεικα, τέθεικας, τέθεικε.

Ὑπερσυντ. Ἐτεθείκειν, ἐτεθείκεις, ἐτεθείκει.

Γράφονται δὲ διὰ τῆς ει διφθόγγου, ἔθει Βοιωτικῷ.

Ἀόριστος ά. Ἔθηκα, ἔθηκας, ἔθηκε.

Ἀόριστος β΄. Ἔθην, ἔθης, ἔθη.
ἔθετον, ἐθέτην.
ἔθεμεν, ἔθετε, ἔθεσαν.

✻. Ἀντὶ τῶν ἑνικῶν τοῦ Ἀορ. β΄. τοῖς τοῦ Ἀορ. ά. ἑνικοῖς οἱ Ἕλληνες χρῶνται. ὥσπερ δὴ καὶ ἀντὶ τῶν πληθυντικῶν τούτου τοῖς ἐκείνου πληθυντικοῖς. ἔνθεν τοι καὶ λέγοιμεν ἂν ἐξ ἑκατέρων συντιθέντες. ἔθηκα,